## ΚΕΦ. ΕΒΔΟΜΟΝ.

### Περὶ Συλλογισμῶν Ἀναγωγῆς, καὶ τῆς τούτων Ἀπαγωγῆς εἰς ἀδύνατον.

§. ψπη'.

Ἀναγωγὴν Συλλογισμοῦ ὀρθὴν μὲν καὶ Ἀποδεικτικὴν προσεῖπον, τὴν ἐξ ἀτελεστέρου ἐπὶ Σχῆμα τελεώτερον μεταῤῥύθμισιν. Μὴ ὀρθὴν δὲ, ἀλλὰ πλαγίαν, καὶ Ἀπαγωγὴν ἐκάλεσαν εἰς ἀδύνατον, τὴν τοῦ ἐν φύσει μὲν, καὶ ἀνεπιλήπτως ἔχοντος, ὑπὸ δὲ τῶν ἐρισικώτερον, καὶ θρασύτερον ἐντυγχανόντων μὴ τῆς δεούσης ἀξιουμένου πίστεως, ἐπὶ τὸ ἄτοπόν τι συνάγειν κατὰ τοῦ μάτην διαφιλονεικοῦντος, διαστροφήν.

§. ψπθ'. Ὑπεργεῖ οὖν εἰς Ἀναγωγὴν, ἤτε τῶν προτάσεων κατὰ τὸ ἐγχωροῦν Ἀντιστροφὴ, καὶ ἡ τούτων, ὅπη παρείκοι, Μετάθεσις· διὰ γὰρ τούτων ἅπαντες οἱ ἐν τοῖς λοιποῖς τῶν Σχημάτων, μὴ πάνυ τοι κατὰ φύσιν συγκεκροτημένοι (§. χι'.) Συλλογισμοὶ Κατάλληλοί τε καὶ Ἀκατάλληλοι, περιβαλλόμενοι τὴν κατὰ τὸ Α. μορφὴν, κρείττους ἑαυτῶν εἰς τὸ συνάγειν καθίστανται. Πλὴν τῶν Καταλλήλων ΓΡΑΨΟΔΟ καὶ ΓΟΡΓΑΔΟ, ὧν ὁ μὲν ἐπὶ τοῦ Β. (§. χϟα'.) συνάγει, ὁ δὲ ἐπὶ τοῦ Γ. (§. ψβ'.)· οὓς Ἀπαγωγικῶς μέτιμεν ὡς εἰρήσεται.

§. ψϟ'. Ῥᾶστα τοίνυν τὴν Ἀποδεικτικὴν Ἀναγωγὴν μεθοδεύσομεν· Α. Τὰ ἐπὶ τῶν Συμβολικῶν φωνῶν, δηλωτικὰ τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ (§. υβ'.) φωνήεντα σημειούμενοι. Β. Τοῖς ἀρκτικοῖς τῶν ἐπ' αὐταῖς συμφώνων προσέχοντες, δι' ὧν δηλοῦται, ἐφ' ἥν τινα δὴ τῶν τοῦ Α. Σχήματος τεττάρων Καταλλήλων Συζυγίαν τὸν Συλλογισμὸν ἀνάγειν χρή· Ἐπὶ τὴν ἐκ τοῦ αὐτοῦ δηλονότι ἀρχομένην γράμματος. Γ. Καὶ τῶν παρεμπιπτόντων δὲ συμφώνων ἐν τοῖς Συμβόλοις παρατηροῦντες τὰ τέσσαρα. Τὸ Ν, ὃ ἁπλῆν σημαίνει ἀντιστροφὴν τῆς κατὰ τὴν συλλαβὴν προτάσεως, ἥπερ ἐφέπεται· τὸ Σ., ὃ τὴν κατὰ συμβεβηκὸς· τὸ Μ, ὃ Μετάθεσιν ἀπαιτεῖσθαι αἰνίττεται· τὸ Δ, ὃ Ἀπαγωγὴν ἐλέγχει τοῦ τρόπου τὴν εἰς ἀδύνατον. Ὡς ἐν τοῖς ἔπεσι.





„Ε, Α, Ο, Ι τε ποιὸν, ἢ ποσὸν λέγει.
„Ἀρκτικὰ δ' αὖτε εἰς ὃν ἄξεις τῶν τρόπων.
„Κ' ἀντιστροφὴν μὲν, ΝΥ ἁπλῆν παριστάνει.
„Ἀντιστροφὴν δὲ ξυμβεβηκὸς ὂν ΣΙΓΜΑ.
„Μετάστασιν πάλιν δὲ ΜΥ προκειμένων.
„ΔΕΛΤΑ τρόπου δὲ, ὦσιν εἰς ἀμήχανον.

§. ψϟα'. Ἔσται τοίνυν τῇ τοιαύτῃ χρωμένους μεθόδῳ, τῶν ἐν τῷ Α. Σχήματι Ἀκαταλλήλων, τὸν μὲν ΓΡΑΦΑΛΙΝ (§. χπδ'.) ἐπὶ τὸν ΓΡΑΜΜΑΤΑ ἀνάγειν τὸν ὁμοιακρόστιχον, δι' ἁπλῆς ἀντιστροφῆς τοῦ συναγομένου, ὡς διασημαίνει τὸ ἑπόμενον Ν, καὶ δι' ἀναδρομῆς τοῦ ὅρου (§ υξθ'.), ἥπερ ἔξεστι.

| | | | |
|---|---|---|---|
| Γρά | Πᾶν αἰσθητικὸν ζῶον. | Γράμ | . . . . . . . |
| φα | Πᾶς ἵππος αἰσθητικός. | μα | . . . . . . . |
| λιΝ | Τὶ ζῶον ἵππος. | τα | Πᾶς ἵππος ζῶον. |

Τὸν δὲ ΘΕΑΖΕΝ, καὶ τὸν ΘΕΑΖΟΝ ὡσαύτως, (πλὴν ὅσον τὸ κατὰ τὸν δεύτερον συναγόμενον ἀναβιβαστέον (§. υξθ'.) ἐπὶ τὸν κατάλληλον ΘΕΑΣΕ. Καὶ τὸν ΣΑΒΙΤΙΝ ἐπὶ τὸν ΣΑΝΙΔΙ. Τόν τε ΤΑΣΕΝΜΟ (§. χπε'.) καὶ τὸν ΤΙΝΕΝΜΟ (§. χπϛ'.) ἐπὶ τὸν ΤΕΧΝΙΚΟΣ μεταθέσει τε τῶν προκειμένων, ὡς δηλοῦται διὰ τοῦ ἐν αὐτοῖς Μ, καὶ ἀντιστροφῇ τῆς μὲν κατὰ συμβεβηκὸς, ἥπερ ἂν ἐφέποιτο τὸ Σ, τῆς δ' ἁπλῶς, ἥπερ ἂν τὸ Ν, καθάπερ (§ ψϟ'.) εἴρηται.

§. ψϟβ'. Καὶ τῶν ἐπὶ τοῦ Β. δὲ Σχήματος Καταλλήλων (§. χϟα'.) τόν τε ΘΑΜΒΕΝΕΝ, καὶ τὸν ΘΕΝΑΖΕ ἐπὶ τὸν τοῦ Α. ὁμοιακρόστιχον ΘΕΑΣΕ τελειοῦντες ἀνάγομεν· τὸν μὲν, μεταθέσει τῶν προκειμένων, διὰ τὸ Μ, καὶ ἁπλῇ ἀντιστροφῇ τῆς ἐλάσσονος, καὶ τοῦ συναγομένου κατὰ τὸ ἑπόμενον Ν. τὸν δὲ δι' ἀντιστροφῆς ἁπλῆς τῆς μείζονος. Καὶ τὸν ΤΕΝΙΟ δὲ, ἐπὶ τὸν ΤΕΧΝΙΚΟΣ ἁπλῶς τὴν μείζονα ἀντιστρέφοντες. Τὸν γε μὴν ΓΡΑΨΟΔΟ, μόνῃ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, ὡς δῆλον ἐκ τοῦ Δ, μετασκευάσομεν.

§. ψϟγ'. Τῇ αὐτῇ δὲ μεθόδῳ, καὶ τοὺς ἐξ ἀντιστροφῆς (§. χϟγ'.), ἢ μεταθέσεως (§. χϟϛ'.) Ἀκαταλλήλους τῶν Δευτεροσχημόνων· Καὶ πάντας δὲ τοὺς Τριτοσχήμονας (§. ψβ'. κζ'.) Καταλλήλους τε καὶ Ἀκαταλλήλους. Καὶ τοὺς διασχηματιζομένους ἔτι κατὰ τὸ Δ. (§ ψιβ'. κζ'.) ἐπὶ τοὺς ὁμοιακροστίχους τέτταρας τοῦ Α. μεταῤῥυθμίζοντες ἐπανάξομεν.